ὀργὴν συμμίσγων ἥντιν' ἕκαστος ἔχει. × 1072

---

πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρηι,
τῆι προσομιλήσηι, τοῖος ἰδεῖν ἐφάνη.
νῦν μὲν τῆιδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίνου. > 1073
κρέσσων τοι σοφίη γίνεται ἀτροπίης. 1074

(Theognidis)

μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητέων
Κύρνε, μέσην δ' ἔρχευ τὴν ὁδὸν ὥσπερ ἐγώ.

---

ὅστίς τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδέν,
ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
κεῖνός γ' ἄφρων ἐστί, νόου βεβλαμμένος ἐσθλοῦ·
ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα·
ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείηισιν ἕπεσθαι,
τῶι δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

(Solonis, fr. 13. 71-6)

πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν·
οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
διπλάσιον σπεύδουσι. τίς ἂν κορέσειεν ἅπαντας;
χρήματά τοι θνητοῖς γίνεται ἀφροσύνη,

215-16 Plut. *de amic. multit.* 9 p. 96f; id. *aet. phys.* 19 p. 916c; id. *sollert. anim.* 27 p. 978e; Ath. 317a; cf. 513d; Paroem. Gr. i. 184. 16, ii. 274. 29; resp. Iulianus *Misop.* 20 p. 349d  221-6 Stob. 3. 4. 26